
SUPERIOR STORIES PRESENT : H.G. WELLS
Ο ΑΟΡΑΤΟΣ ΑΝΗΡ
ΑΡΜΑ ΚΑΙ ΙΠΠΟΙ ΠΑΝΔΟΚΕΙΟΝ ΤΡΕΦΟΜΕΝ ΚΑΙ ΞΕΝΙΖΟΜΕΝ
Ἐπιστήμων ἐπὶ πειρῶν τις, Γρὺψ ὄνομα, πάλαι ἔτυχε θαυμασίου καὶ ἀπορρήτου τύπου φυσικοῦ. Ὁ δὲ ζητήσας τόπον τῶν πολυπραγμόνων ἀποκεχωρηκότα ἵνα ἐκεῖ τὰς πείρας διατελοῖ, χειμῶνος μέσου, ἀφίκετο εἰς τὴν Ἴπιγγ πόλιν ἐν τῇ Ἀγγλίᾳ.
Πῦρ καθικετεύω σε, δωμάτιον δὴ καὶ πῦρ.
Εἴσελθε, ἄνερ. Τὸ δ' ἐνοίκιον ἔσται δίδραχμον καθ' ἑβδομάδα. Ἐν ᾧ παρασκευάζω τὸ δεῖπνον, θερμαίνου ἐπὶ τῇ ἐσχάρᾳ.
Μικρῷ ὕστερον...
Τὸ δεῖπνον παρεσκευάσατο, ἄνερ. Ἆρ' ἔξεστί μοι τὸν πέτασον καὶ τὸ ἱμάτιόν σου λαβούσῃ ἐν τῷ μαγειρείῳ ἀποξηραίνειν;
Οὐχί, ἀλλὰ ἂν αὐτούς, ὦ κυρία Αὐλή.
Σύγγνωθι, ἄνερ, ἐπελαθόμην τοῦτο νᾶπυ ἐπί... ὤ... οὐ συνῄδειν...
Ὃ μᾶλλον ἐρρῑγουν καὶ ἔκαμνον ἢ ὥστε πρότερον λέγειν, δεῖ με ἐμφαίνειν ὅτι ἐρευνητὴς ἐπὶ πειρῶν εἰμι. Ἐπ' Ἴπιγγ ἐλήλυθα ἐπιθῡμῶν τῆς ἐρημίας. Οὐ βούλομαι ἐν τῷ ἔργῳ ἀνιᾶσθαι.

Πρὸς δὲ τῷ ἔργῳ μου, ἀτύχημα ἀναγκάζει με ἀναχωρεῖν πως. Οὕτω γὰρ ἐνίοτε ἀσθενῶ καὶ ἀλγῶ τοὺς ὀφθαλμοὺς ὥστε δεῖν με κατακλεισάμενον ἐν τῷ σκότῳ πολὺν χρόνον μένειν, ἔγωγέ φημι.
Νὴ Δία μανθάνω, ἄνερ
Τῇ δὲ ὑστεραίᾳ τὰ τοῦ κῡρίου Γρῡπὸς σκεύη, δύω κῑβωτοί, βιβλιοθήκη, δώδεκα κόφινοι χρήματα ἐν καλάμοις κεκρυμμένα ἔχοντες ἀφικνοῦνται ἀπὸ τοῦ
Φέρε τοὺς κοφίνους, κῦριε Αὐλέ. Καὶ γὰρ ἱκανὸν χρόνον μένω αὐτούς. Σὺ δέ, ἁμαξεῦ, ἄμῡνόν μοι τὸ θηρίον σου.
Ἐξαίφνης ὁ κύων ἔρχεται ἐπὶ τὸ σκέλος τοῦ κῡρίου Γρῡπός...
Ὦ, ἐπανιτέον μοι εἰς τὸ δωμάτιον.
Ἐδέχθη. Δεῖ με ἐπισκοπεῖν αὐτόν.
Ὁ οὖν κῦριος Αὐλὸς ὥρμησεν ἐπὶ τὸ δωμάτιον Γρῡπός, πρὶν δὲ μαθεῖν τί τὸ βλεπόμενον, χρῆμά τι λανθάνον ἔτυψεν αὐτὸν τὸ στέρνον...
Ὁ μὲν κῦριος Αὐλὸς ἀπεχώρησεν ἀπορῶν καὶ θεραπεύων τὴν πληγὴν αὐτοῦ, ὁ δὲ Γρῦψ μικρῷ ὕστερον ἐπέστη πρὸς τῇ τοῦ πανδοκείου θύρᾳ.
Μεταμέλει μοι τοῦ κυνός, ἄνερ. Ἆρα ἔδακέν σε;
Οὐδαμῶς, οὐδεπώποτ᾽ ἔρηξε τὴν ἐπιδερμίδα. Σπεύδων φέρε ἐκεῖνα.
Ὁ κῦριος Γρῦψ ταχέως κενώσας τοὺς κοφίνους, εὐθέως ἤρξατο ἐργάζεσθαι. Τότε δέ...
Εἴθ᾽ οὐ κρουᾱσα μὴ εἰσίοις. Αἱ ἔρευναί μου... ὁ μικρότατος ψόφος, θύρα διαφωνοῦσα... δεῖ με αἰτῆσαί σε...
Μόνον ἐνήνοχά σοι τὸν σῖτον, ἄνερ. Ἔχεις τὴν θύραν κατακλεῖσαι, εἴ σοι ἀρέσκει.


Ἐπεῖ ἡ κῡρία Αὐλὴ ἀπεχώρησεν, ὁ Γρῦψ δειπνήσας σπουδὴν εἶχε περὶ τοῦ ἔργου αὐτοῦ.
Οὐ δύναμαι… τριᾱκοντακισμῡ́ριοι… Μῶν πάντα τὸν βίον διατελῶ; Ἆρ' ὑπομένω; Ὑπομένω δή.
Ἐν δὲ τῷ μεταξὺ ἠδολέσχουν οἱ πολλοὶ περὶ τοῦ νέου ξένου.
Εἶδόν φημι διὰ τοῦ σχίσματος τῶν περισκελῶν αὐτοῦ, ὅμως τὸν χρῶτα αὐτοῦ οὐχ οἷός τ' ἦν ἰδεῖν. Ὠήθης ἂν ὑποπόρφυρόν τι φανήσεσθαι, οὐδὲν δ' ἐφάνη.
Νὴ Δία, οὕτως ὑποπόρφυρός γ' ἐστιν ἡ ῥῖς αὐτοῦ ὡς τὸ φῦκος.
Τοῦ δὲ χρόνου προβαίνοντος, ἡ ἀδολεσχίᾱ διέμενεν…
Διὰ τίνος ποιεῖται ἐργασίαν;
Κακοῦργός ἐστι διακρουόμενος δίκην δοῦναι.
ΑΠΑΡΕΣΚΕΙ ΤΟΥΤΟ ΜΟΙ
Οὐ πιστεύω τούτῳ τῷ ξένῳ.
Διὰ τί οὐ δείκνυσιν αὐτόν,
Τί τοσοῦτοι οἱ λάγῡνοι ἐν τῷ δωματίῳ αὐτοῦ;
Διὰ τί φορεῖ ἐκείνους τοὺς ἐπιδέσμους;
Πολλῷ χρόνῳ ὕστερον, ὁ διδάσκαλος Ἴξαλος, ἰᾱτρὸς τῆς κώμης ὤν, συνεγένετο τῷ κῡρίῳ Γρῡπὶ αἰτῶν δῶρον ὅπως νοσοκόμος τοῖς κωμήταις εὑρεθήσεται.
Συγγνώμην μοι ἔχε εἰσεληλυθότι …ΠΑΠΑΙ
Ὀλίγῳ ὕστερον ἐν τῷ τῆς κώμης κοιμητηρίῳ…
Ἐφημέριε, ἐφημέριε. Ἆρ' ἐμμανὴς γίγνομαι; Ἄρτι ἐν τῷ τοῦ κῡρίου Γρῡπὸς δωματίῳ ἦν… καὶ εἶδον, εἶδον… Ἐμμανὴς μὲν οὖν γίγνομαι.
Τί τὸ πρᾶγμα, διδάσκαλε; Τί ἐγένετο;
Ὅτε ἦν ἐν τῷ τοῦ Γρῡπὸς δωματίῳ, δῶρον αἰτῶν, ἄνθρωπος ἢ ζῷον ἔκνισε τὴν ῥῖνά μοι. Εἶτα εἰς Γρῦπα ἐγγυτέρω ἔβλεψα, ἐκεῖ ἑστῶτα οὐ… οὐκ ἔχοντα βραχίονας. Σὺ μὲν γελᾷς, εγὼ δέ φημι, ἔφριξα.
Ἅ, ἅ, ἅ. Θαυμάσια λέγεις.

Ὀλίγαις δ' ὕστερον νυξίν, ὁ ἐφημέριος καὶ ἡ γυνὴ αὐτοῦ ψόφῳ ἐγερθέντες σωφρόνως ἦλθον ζητεῖν.
Εὕρηκε τὴν ἀργυροθήκην. Δύο δραχμὰς καὶ τριώβολον. Οὐκ ἔστι δ' οὐδεὶς ἐνταῦθα. Τίς ἧψε τὸν λύχνον;
Ἄκουσον, τὸν πταρμὸν τὸν ἐγείραντά με. Καὶ πάλιν τὸν πταρμόν.
Βλέψον, ἡ θύρα ἀνοίγεται.
Καὶ νῦν κλείεται. Οὐδεὶς δὲ διῆλθε.
Ὀλίγῳ ὕστερον ἐν τῷ πανδοκείῳ...
Οἱ μοχλοὶ τῆς θύρας ἀφῃρημένοι εἰσίν. Οἶδα δὲ ὅτι χθὲς ἔκλεισα αὐτήν.
Ἡ θύρα τοῦ κῡρίου Γρῡπὸς ἀνεῳγμένη ἐστίν, αὐτὸς δ' οὐκ ἔστιν ἐν τῷ δωματίῳ, αλλὰ... ἀλλὰ τὰ ἱμάτια αὐτοῦ πάρεστιν.
Φέρ' ἴδω. Καὶ γάρ τοι ἀληθῆ λέγεις. Τί οὖν ποιεῖ ἐκεῖνος οὐ φορῶν τὰ αὑτοῦ ἱμάτια; Τοῦτο θαυμαστόν ἐστιν. Ἆρα... ἔπταρες;
Σὲ μὲν οὖν ᾤμην πταρεῖν.
Ἐξαίφνης θαυμάσιόν τι ἐγένετο...
Οἴ. Δαιμόνια. Οἶδα τὰ δαιμόνια τοῦτο πρᾱ́σσοντα. Ἀνέγνωκα περὶ αὐτῶν. Ἰδού, πάντα πηδᾷ τε καὶ ὀρχεῖται.
Σπεύδοντες ἐξέλθωμεν τοῦ δωμάτου τούτου. Προσκαλῶ κῡ́ριον Ἐγγυητὴν τὸν σιδηρέα πέρᾱν τῆς ὁδοῦ.
Μικρῷ ὕστερον...
Τί περὶ τῶν σκευῶν καὶ τῶν ἄλλων ἐν τῷ ἀέρι πετομένων;
Ἀλήθειαν λέγεις. Τοσοῦτοι λάγῡνοι ἐν τῷ δωματίῳ αὐτοῦ. Τέθηκε τὰ δαιμόνια ἐν τοῖς σκεύεσιν. Χρὴ ἡμᾶς ἀποκλεῖσαι αὐτόν. Μὴ πάλιν ἐπανέλθῃ. Ὤφελον εἰδέναι ἐκ τῶν διόπτρων καὶ τῆς ἐπιδεδεμένης κεφαλῆς.

Χρόνῳ ὕστερον, ἐπεὶ ἡ κῦρία Αὐλὴ περιεγένετο τῆς ταραχῆς…
Ὦ 'γαθή, διὰ τί οὐ πεποίηκας τὸν σῖτόν μοι καὶ…
Μὴ λέγε ***με*** ἀγαθήν… βούλομαι εἰδέναι ὅ τι ἄνω ποιεῖς τῇ ἕδρᾳ μου… καὶ βούλομαι εἰδέναι ὅπως τὸ δώματιόν σου μὲν κενὸν ἦν, σὺ δὲ πάλιν εἰσελήλυθας. Καὶ διὰ τί οὐ διελύθη μοι τὸ χρέος… καὶ…
***Παῦε***. Οὔθ' ὅστις εἰμὶ αἰσθάνει οὔθ' ὅ τι εἰμί. Δείξω σοι, νὴ Δία. ***Δείξω σοι.***
Ὁ κῦριος Γρῦψ τὴν χεῖρα τῷ προσώπῳ προσέθηκε καὶ ῥῖνα ψευδῆ τῷ καλύμματι ἀφελὼν κατέθηκεν αὐτὴν εἰς τὴν χεῖρα τῆς κῦρίας Αὐλῆς.
**Ὤ**
Νὴ τὸν Ἡρακλέα. Οὐκ ἔστιν. Οὐ γὰρ ἔστιν. Αὐτὸς… Οἴμοι.
Προσεδόκων οὐλάς μὲν αἴσχη τε καὶ δείματα ἀπτά, τὸ δὲ οὐδέν οὐδαμῶς.
Μικρῷ ὕστερον…
Τί…Τί τοῦτο;
Ἀπολοίμην εἰ ἡ κῦρία Αὐλὴ τἀληθῆ μὴ ἔλεγεν. Κεφαλωτὸν δ' ἢ οὔ, συλλήψομαι αὐτόν.


Ἡ κατάστασίς μου ἄτοπος μὲν ἴσως ἐστίν, ἄδικος δὲ οὔ. Διὰ τί οὕτω κακῶς πάσχω ἀπὸ φύλακος; Ἄφες με.
Οὐ τὸ ἀόρᾱτον διώκω, ἀλλὰ διαρρηξίν τινα. Οἰκία τε γὰρ διορώρυκται καὶ ἀργύριον ἀφῃρῆται. Σημεῖα δὲ πιθανὰ ἀληθῶς διασημαίνει σε. Ἐπίσχε.
Οὗτοι μὲν οὕτως ἐχρήσαντο Γρῡπὶ ὥστε τῷ ὄντι ὠφελεῖν αὐτὸν εἰς τὸ ἀποδῦναι θαἰμάτια. Ὁ δ᾽ ἀόρᾱτος ἐγένετο.
Δεῦρο, λαβὲ αὐτόν. Ἀποδύεται τὰ αὐτοῦ. Οὐχ ὁρῶ αὐτόν.
Δι᾽ ὀλίγου ὁ ἀόρᾱτος ἀνὴρ ἠφανίσθη εἰς τὸν ἀχρώματον ἀέρα ἔξω τοῦ πανδοκείου. Ἔπειτα δ᾽ ὕστερον ἀφικόμενος ὡς στάδια ὀκτω ἀπὸ τῆς Ἴπιγγ πόλεως ἀπήντησε πτωχῷ τινι δύο ὑποδήματα μείζω χαλεπῶς σκοποῦντι.
Ἄ, κακὸν θηρίον αὕτη ἡ χώρα. Καίπερ δέκα ἔτη παρών, μόνον δύο ἀρβύλας ἔχω, ἀρβύλας δὴ πτωχάς.
Ἀρβύλας μέντοι.
Πάνυ γε. Ἰοὺ ἰού. Ἆρ᾽ ὁρῶ ὁράματα; Ἆρ᾽ ἐμαυτῷ ἐλάλουν;
Μὴ ταράσσου. Οὐκ ἐξαπατᾷ φάντασμα. Ἴδε. Ἐγὼ μὲν ῥίψω χάλικας πρὸς σέ, σὺ δὲ τότε πεισθήσῃ ἐμὲ ἀληθῆ εἶναι.
Ἰοὺ ἰού. Λίθοι λαλοῦντες… βάλλοντες αὐτούς, ἐγὼ δ᾽ οὐχ ὁρῶ οὐδέν. Παῦε. Πείθομαι. Τί.. τί βούλει;
Βούλομαι σὲ συλλαμβάνειν μοι εἰς τὸ ἐπιτυχεῖν ἱματίων… καταφυγῆς… τέλος δ᾽ ἄλλων.
Ἐκπέπληγμαι. Οὐδὲν μὲν γὰρ διὰ πολλοῦ ὁρᾶται πλὴν τοῦ κόλπου τῆς Γῆς. Φωνὴ δ᾽ ἔρχεται τότε… λίθοι δέ…
Ἡσύχαζε, ἐπεὶ ὅ τί σοι ᾕρημαι, τοῦτό σοι ποιητέον ἐστίν. Παραγγέλλω δέ σοι ὅπως μὴ προδώσεις με.

Οὐ μὴ προδώσω σε. Μὴ λέγε τοῦτο. Ὅσα ἂν ποιήσῃς, ὅσα ἂν κελεύσῃς, ποιῆσαι ταῦτ᾽ ἐθέλω.
Ὀλίγῳ ὕστερον κῦριος Θαυμάσιος, ὁ πτωχός, εἰσελθὼν εἰς τὸ ἅρμα καὶ ἵπποι πανδοκεῖον, ἔβαινεν πρὸς τὸ Γρῡπὸς δωμάτιον.
Οὗτος σύ. Τὸ δωμάτιον τὸ ἄνω ἴδιόν ἐστιν.
Τί; Πάνυ γε. Ἔασον δέ με πιεῖν ζῦθον, εἰ σοὶ δοκεῖ, κῦριε.
Εἰσιτέον μοί ἐστιν εἰς τὸ δωμάτιον αὐτοῦ ἑλεῖν ὅσα αὐτὸς ἐπιθῡμεῖ. Ἴσως δύναμαι ἐκ τοῦ ὀπίσθεν πανδοκείου εἰσελθεῖν.
Κῦριος Καύκασος ὁ καπνοπώλης ἀπὸ τοῦ πέρᾱν τῆς ὁδοῦ καπηλείου ἀφορᾷ τὸν πτωχὸν ἐξιόντα τὸ πανδοκεῖον.
Φεῦ. Ὁ ξένος ἔχει θαυμασίως.
ΚΑΠΝΟΠΩΛΗΣ
Ὀλίγῳ ὕστερον...
Καὶ ὁ αὐτὸς ξένος ἐξέρπει ἐκ τοῦ ὀπίσθεν πανδοκείου, φέρων φάκελον ὑπὸ τῇ μασχάλῃ. Πῶς οὐ κλέπτης;

Σύλλαβε κλέπτην.
Ἐπίσχες.
Ἐξαίφνης οἱ διώκοντες ἀναιτίως προσκόπτουσιν.
Τί τοῦτο, νὴ...
Φεῦ
Μικρῷ ὕστερον...
Οὐδέποτε ἂν ἔφυγες, εἰ μὴ ἐκείνους κατέσχον. Σὺ μὲν ὄργανον φαῦλον εἶ, ἐμὲ δὲ δεήσει χρῆσθαί σοι.
Φαυλότατον ὄργανόν εἰμι.
Ἐγὼ μὲν οὐκ εἰμὶ ἰσχῡρότατος, ἡ δὲ καρδία μου δειλή ἐστιν. Οὔ μοι δύναμις καὶ χεῖρες εἰς οἷα βούλει. Χωρὶς δὲ τούτων, τί μ’ ὠφελεῖ;
Ἐπιμελησόμεθα σου, Θαυμάσιε. Θάρρει.
Ἐγὼ δέ σοι λέγω, κῦριε, ὅτι οὐκ εἰμὶ ἐπιτήδειος.
Ἡσύχαζε. Σκεπτέον μοί ἐστιν.


Δι' ἡμερῶν δέ τινων ἐν ἐνίαις πόλεσιν, θαύματα ἐγίγνετο·
νομίσματα μὲν γὰρ ἐφαίνετο ἐκπέτεσθαι ἐκ μηχανῶν ταμιακῶν...
...Νομίσματα δ' ἐξεπέτετο ἐκ τῶν τραπεζῶν...
...Νομίσματα δ' ἐξεπέτετο ἐκ τῶν πηρῶν τῶν ἀνθρώπων...
...Ὅτε δ' οἱ ἄνθρωποι πειρῷντο λαβεῖν τὰ νομίσματα...
...οὗτοι ὑπ' ἀοράτου δυνάμεώς τινος κατέχοντο.
Φεῦ.
Τῇ δ' ὑστεραίᾳ ἐν τῇ πόλει Ἀρκτίῳ, κύριος Θαυμάσιος, ὁ πτωχός, ἐνέβαλεν εἰς πανδοκεῖον, ᾧ ὄνομα Οἱ ἱλαροὶ ῥοπαλοφόροι...
Βοηθεῖτε. Ὁ ἀόρᾱτος ἀνὴρ ὀργίζεταί μοι. Διώκει με. Βοηθεῖτε.
Κλεῖσον τὴν θύρᾱν. Τίς ἔρχεται; Τίς ὁ θόρυβος;

Ὁ ἀόρᾱτος ἀνήρ ἐστι, φημί. Βλέπετε. Νῦν δὲ λίθους διὰ τῆς θυρίδος βάλλει.
Εἴθ' εἶχον τὴν ῥάβδον μου.
Βλέπετε. Αἱ θύραι τῆς ἐξέδρας ἀνοίγνυνται;
Ἀλλ' οὐδεῖς ἦν ἐν τῇ ἐξέδρᾳ. Ὁ ἀόρᾱτος ἀνὴρ ἐκεῖ ἐστιν.
Ὦ, ἔρχεται συλλαβεῖν
Βοηθεῖτε. Ὠθεῖ με εἰς τὸ μαγειρεῖον. Βοηθεῖτε.
Ἔρχομαι, ξένε.
Ἔχω αὐτόν... Ἔχω αὐτόν.
Μάχεταί μοι. Μάχ... **φεῦ.**

Πάρεστί γέ που…
Λάβετε αὐτόν.
Ἐνταῦθά ἐστιν.
Ἔχω αὐτόν.
Φεῦ. Ἔπληξέ με.
Ἡ θύρα ἀνοίγεται.
Αὐτὸς δ' ἐξέρχεται.
Εὐλαβεῖσθε. Κεράμους
ἐφ' ἡμᾶς βάλλει.
Διδασκαλίαν
παρέξω αὐτῷ.
Εἴθε μία τῶν σφαιρῶν
ἐμπεπτώκοι εἰς αὐτόν.


Φερέτω τις λαμπτῆρα καὶ ἔλθετε πειρᾶν τὸ ἔδαφος. Μῶν ἔχω αὐτόν;
Ἐγγὺς ἐν τῇ οἰκίᾳ τοῦ ἰατροῦ Καμπίου...
Τί τὸ πρᾶγμα ἐκεῖ; Τίς μωρὸς ὢν τῷ περιστρόφῳ βάλλει ἐν Ἀρκτίῳ;
Ὄχλος φαίνεται ὑπὸ τὸ ὄρος εἶναι πρὸς τοῖς Ῥοπαλοφόροις.
Μικρῷ ὕστερον ἤχησεν ὁ κώδων...
Τίς ἦν, παιδίσκη;
Δραπέτης γε ἐκωδώνισεν ἐν παιδιᾷ, κῦριε.
Ὁ ἰατρὸς Κάμπιος ἠργάσατο ἐν τῷ φροντιστηρίῳ μέχρι τῆς τρίτης φυλακῆς. Χαμαὶ δ᾽ ἐκτὸς τοῦ οἰκήματος ᾔσθετο...
Αἷμα;
Ἔτι αἷμα;

Κάμπιε, ἰατρὲ Κάμπιε.
Τί; Τίς οὑτοσί;
Μὴ ταράσσου, Κάμπιε. Ἀόρατος ἀνήρ εἰμι.
Ἆρα ἀληθῆ ἐστιν. Ἐκεῖνα τὰ διηγήματα ἀκήκοα.. Ἦ ἐπίδεσμος ἐστιν ὃν φορεῖς;
Εὖ λέγεις, Κάμπιε…Μάλιστα δέομαι τῆς βοηθείας σου. Διὸ μὴ φοβοῦ.
Οὐκ ἔστιν… Ἐξέρχομαι…φεῦ.
Μὴ λήρει, Κάμπιε. Μῶν ἀόρατόν τινα δύνασαι ἐκφυγεῖν;
Σῖγα νῦν. Οὐ βούλομαι βλάψαι σε. Ἆρ' οὐ μέμνησαί μου, Κάμπιε; Γρῦψ, ἀπὸ τοῦ Πανεπιστημίου.
Γρῦψ. Σὺ εἶ Γρῦψ;
Ἐγώ εἰμι, ἰατρὲ Κάμπιε.


Ποίας δείται βασκανίας ἵνα ἄνρθωπος ἀόρᾱτος γένηται;
Οὐκ ἔστι βασκανία αλλὰ μέθοδος καὶ νοητή γε.
Τετρωμένος ἀλγῶ. Δός μοι σῖτα καὶ ποτά.
Τοῦτο δὴ ἀφαιρεῖ τὰ φάσματα.
Νῦν ἔμφρων εἶ. Ἆρα δοίης ἂν μοι ἱμάτιον;
Ὑποδύτης τε ποδεῖά τε καὶ βλαύται ἀρέσκοιεν ἂν μοι.
Τὰ πάντα. Τοῦτο δὲ τὸ πρᾶγμα μανικώτατον ἐν τῇ ἐμῇ ζωῇ.
Ὦ καινὰ καὶ παράδοξα. Πῶς δὲ γίγνεται;
Πολλὰ πέπονθα, Κάμπιε, μετὰ δὲ ταῦτα συμπράξομεν ἐγὼ καί σύ. Πρῶτον δὲ δεῖ με κοιμᾶσθαι. Ἐκ πλείονος γὰρ ἀγρυπνῶ.
Τί δὴ οὐκ ἐκοιμήθης; Διὰ τί;



Ὅτι μάλιστα ἀρνοῦμαι συλληφθῆναι ὑπὸ τοῦ πλησίον μου. Εἰς κόρακας. Νῦν γὰρ τὴν ἔννοιάν σοι παρέσχηκα.
Ἄχθομαι οὐ δυνάμενος λέγειν σοι ὅσα περ νεωστὶ ἔπραξα, ἀλλὰ κάμνω. Ἴσως αὔριον. Νῦν γὰρ δεῖ με ἢ κοιμᾶσθαι ἢ ἀπολλύεσθαι.
Νῦν ἀπαλλάσσομαι παρά σου, Γρῦψ. Ὑγίαινε.
Ἆρ' οὐκ ὄναρ ὁρῶ; Ἀνὴρ ἀόρᾱτος; Πότερον οἱ ἄλλοι μαίνονται ἢ ἐγώ;
Ὕστερον
Ζεῦ βασιλεῦ. Οὕτως αἱ ἐφημερίδες· Πάση κώμη τῆς Σουσσεξίας μαίνεται. Ἀνὴρ ἀόρᾱτος διέδραμε τὰς ὁδοὺς τύπτων πανταχοῖ…
Ἆρα οὐ μόνον ἀόρᾱτός ἐστιν ἀλλὰ καὶ μανικός; Προπετὴς εἰς τὸ ἀποκτείνειν;
Ὁ ἰᾱτρὸς Κάμπιε γιγνώσκει γνωρίσαι τοὺς φύλακας.
Τοῦτο μοι ποιητέον. Οὐ γὰρ αἵρεσις δέδοται.

Ὕστερον Γρῦψ ἠγέρθη...
Πάντα τὰ πράγματα προσήκει σοι. Οἱ μὲν γὰρ ἄνθρωποι ᾔσθηνται τοῦ ἀοράτου ἑαυτῶν πλησίον, οὐδεὶς δὲ οἶδέ σε ἐνταῦθα ὄντα.
Γρῦψ διηγεῖτο τῷ ἰατρῷ Καμπίῳ περὶ τῆς ἑαυτοῦ ἐρεύνης.
Πρῶτον ἐν Καισαρείᾳ ἐνέπεσον εἰς τοῦτο... τὸ φῶς εἶχέ με... πυκνότης ὀπτική. Πᾶν τὸ πρᾶγμα αἰνίγμασι πέπλεκται.
Ἓξ μηνὰς ὅσον οὐκ ἐπεπονήκειν πρὶν ἢ φῶς διὰ ἑνὸς τῶν δικτυδίων ἐξαίφνης τε καὶ ἀστραπηδὸν διεξελθεῖν.
Μείζονος χρόνου ἐδεόμην καὶ ἀργυρίου. Ὅσον ἐδυνησάμην ἀπὸ τοῦ πατρὸς λαβὼν ἐκαρτέρησα πονῶν.
Ἠρξάμην πειρώμενος ἐν ζῴοις...
Τέλος δέ ποτε ἔτυχον.


Ἐπεὶ οἱ μωροὶ τῶν γειτόνων ἐνόμιζον ὑπ᾽ ἐμοῦ τὰ ζῷα βλάπτεσθαι, ὁ οἴκου δεσπότης ἐκέλευσέ με ἀπελθεῖν.
Οὐ πολὺ ὕστερον ᾐσθόμην καὶ πρὸς ἐμὲ τὰ χῦμικὰ
Ὀργιζόμενος τοῖς μωροῖς ἀνθρώποις τὸν οἶκον ἐνέπρησα ἵνα τὰ ἴχνη μου κρύπτοιμι.
Ἐν δὲ τῇ Δρυΐνῃ ὁδῷ εἶδον καπηλεῖον ὧν ἐδεόμην ἔχον.
IMATIA
Ὁ μὲν κάπηλος αἰσθόμενός πως ἐμὲ ἐν τῷ καπηλείῳ ὄντα, ἦλθεν ἔχων πυροβόλον ζητεῖν με...
Ἐγὼ δ᾽ ἔλαβον ὧν ἐδεόμην. Τὰ δὲ λοιπὰ ἀπὸ τῶν ἐφημερίδων οἶσθα.


Τί οὖν ποιήσωμεν; Τίνα ἔχεις γνώμην;
Ἔμελλον μὲν ἀποδημεῖν. Ἰδὼν δέ σε, ἠλλοιωσάμην τὴν γνώμην.
Ἀκούσομαι μὲν τὴν σὴν γνώμην, ὦ Γρῦψ, οὐ συγγιγνώσκω δέ σοι, εὖ ἴσθι. Λέγε.
Δεινὴν τυραννίδα ζητῶ. Λαβὼν πόλιν τινὰ ὡς τοῦτο τὸ Ἄρκτιόν σου, δεινῶς τυραννήσω.
Τοῦτο οὐ συγγιγνώσκω, Γρῦψ. Τί ὀνειροπολῶν ἐξαπατῴης ἂν τοὺς ἀνθρώπους; Πῶς ἂν εὐδαίμων εἴης;
Ἄκουσον, Κάμπιε. Ἀναβαίνει τις τὴν κλίμακα.
Φλυαρεῖς. Πῶς γὰρ οὐχ ἁμαρτάνεις;
Οὐδαμῶς. Φέρε ἴδω.
Φέρε ἴδω, φημί...τί σύ... **Προδότα.**


Γρῦψ, κρῖνας πάντως ἀόρατος γενέσθαι, ἐκδύεται τὰ ἱμάτια.
Ἄπαγέ με… ὅπου ἂν ᾖς … ὦ. Ἡ δειρή μου… πνίγεις…
Ὁ μὲν ἰατρὸς Κάμπιος ἀσθμαίνων ἔπεσεν εἰς τὸ ἔδαφος, ὁ δ' ἀόρατος ἀνὴρ ἀνοίξᾱς τὴν θύρᾱν ἔδραμεν ἐπὶ τὴν κλῖμακα.
Εὐλαβοῦ. Φεύγει.
Φεῦ.
Ἀπελήλυθεν. Ἐκπέφευγεν.
Μανικὸς καὶ ἀπάνθρωπός ἐστι. Φόβον ἐμβαλεῖ. Οὐδὲν ἐμποδὼν αὐτῷ.
Συλληπτέος μήν ἐστιν.

Δεῖ σε χρῆσθαι ἅπᾱσι τοῖς ἀνδράσι καὶ δὴ κωλύειν αὐτὸν ἀποχωρῆσαι. Ἐὰν γὰρ ἀπέλθῃ, διαβήσεται τοὺς ἀγρούς ὡς βούλεται. Τίς δ᾽ οἶδ᾽ ὅ, τι ἐκεῖνος ποιήσει;
Μικρῷ ὕστερον πάντες οἱ ἀγροὶ ὑπετάχθησαν νόμῳ στρατιωτικῷ. Αἱ μὲν γὰρ ἁμαξοστοιχίαι οὐκ εἰῶντο ἑστάναι, τὰ δὲ διδασκαλεῖα ἀνεπαύετο, οἱ δ᾽ οἶκοι κατεκλείοντο τοῦ κωλύειν τὸν ἀόρᾱτον ἄνδρα ἐσθίειν τε καὶ καθεύδειν.
Παρὰ πᾶσαν τὴν ἡμέραν οὐδ᾽ ἴχνος ηὑρέθη πλὴν...
Βλέψον ἐκεῖ.
Ἄθλιον κ. Οἰκοστάσιον. Διὰ τί ἐβουλήθη τοιοῦτον ἄνθρωπον φονεῦσαι;
Οὗτος ὁ ἀόρᾱτος ἀνὴρ μαίνεται, λέγω σοι.
Τῇ δ᾽ ὑστεραίᾳ ὁ ἰᾱτρὸς Κάμπιος ηὗρεν ἐπιστολὴν ἐν τῷ γραμματοκιβωτίῳ.
Τόδε προγράφει τὴν πρώτην τοῦ Δεινοῦ ἡμέρᾱν. Ὁ γὰρ Ἀρκτίου Λιμὴν οὐκ ἔτι ἐστὶν ὑπὸ τὴν βασίλισσαν. Τῷ τε ῡ̔μετέρῳ ἡγεμόνι φυλάκων καὶ τοῖς λοιποῖς αὐτῶν διηγήσασθε ἐκεῖνον εἶναι ὑπ᾽ ἐμὲ τὸν Δεινόν. Αὕτη γάρ ἐστιν ἡ πρώτη τοῦ ἔτους ἡμέρᾱ, ᾗ νέᾱ τάξις τῶν αἰόνων ἄρχεται, δηλαδὴ τοῦ ἀορᾱ́του ἀνδρὸς, ἐγὼ δέ εἰμι Ἀνὴρ Ἀόρᾱτος ὁ Πρῶτος. Κατ᾽ ἀρχὰς μὲν ἡ βασιλείᾱ ἔσται κούφη. Τῇ γὰρ πρώτῃ ἡμέρᾳ, παραδείγματος ἕνεκα, μία τῑμωρίᾱ ἔσται, ἀνθρώπου τινὸς ὀνόματι Κάμπιος. Σήμερον δ᾽ ὁ θάνατος διώκει αὐτόν.
Φεῦ. Δεῖ με γνωρίσαι τοῦτο τοὶς φύλαξιν. Γραμματεῖον πέμψω παρ᾽ αὐτούς.



Ἆρ' ἔκρουσας τὸν κώδωνα, κύριε;
Ἔκρουσα θέλων σε αὐτίκα ἐνεγκεῖν τήνδε τὴν ἐπιστολὴν πρὸς τὸν τῶν φυλάκων ἡγεμόνα.
Μικρῷ ὕστερον...
Ἡ θεράπαινά σου ἐνέτυχε τῷ ἀοράτῳ ἀνδρί, ὦ Κάμπιε.
Τί; Εἴσελθε ταχέως, δεκάδαρχε.
Ἐν τῷ φρουρίῳ νῦν ἐστιν ἐμπαθῶς ἔχουσα. Ἠναγκάσθημεν γὰρ ἀφελέσθαι τὸ γραμματεῖόν σου ἀπ' αὐτῆς.
Δεινόν ἐστιν.
Ἐξαίφνης μέγας πάταγος ἐγένετο διὰ τῆς οἰκίας.
Τοῦτ' ἐστὶν ἡ ἄνω θυρίς.
Ὁ ἀόρατος ἀνὴρ ἐρρήγνῡ πάσας τὰς θυρίδας.
Τῶν θυρῶν κεκλεισμένων, ἡ ὕαλος ἐκπεσεῖται. Ἐκεῖνος δὲ τεμεῖ τοὺς πόδας αὐτοῦ.
Ταῖς κυσὶν οὖν χρησόμεθα. Εἰς τὸ φρούριον εἶμι ἐπάγειν αὐτάς. Ἆρ' ἔχεις περίστροφον;

Οὐκ ἔχω ἕτερον.
Σὺ μὲν ἀσφαλῶς ἕξεις ἐνταῦθα, ἐγὼ δ᾽ ἀποδώσω σοι αὐτό.
Χάριν ἔχω σοι, Κάμπιε. Νῦν δ᾽ ἐπὶ τὴν θύρᾱν.
Παραυτίκα δεῖ σε ἐκβῆναι. Μὴ παράσχῃς αὐτῷ ἐλπίδα τοῦ εἰσιέναι.
Ἐπεὶ ὁ δεκάδαρχος ὀλίγους πόδας ἀπὸ τῆς οἰκίᾱς τοῦ Καμπίου ἐβάδισεν...
Μικρὸν ἐπίσχες, ὦ τᾶν, καὶ τὸ σὲ εἰς τὴν οἰκίᾱν ἐπανελθεῖν χάρισαί μοι.
Ποῦ εἶ;
Τί βουλόμενος βαδίζεις;
Ποῖ βαδίζω, ἐμόν ἐστιν. Σὲ δ᾽ ἀόρᾱτον ἢ οὔ...
Ἐξαίφνης ὁ ἀόρᾱτος ἀνὴρ ἐπῆλθεν.
Οὐδαμῶς.
Φεῦ.
Ἄλις. Νῦν δ᾽ ἔχω πυροβόλον.



Ὁ ἀόρᾱτος ἀνὴρ βραδέως ἐβάδιζε πρὸς τὴν οἰκίᾱν.
Δεῖ μὲ εἰς ἐκείνην τὴν οἰκίᾱν τρόπον τινὰ εἰσιέναι… Ἴσως διὰ τῆς εἰσόδου τοῦ μαγειρείου.
Ἰδού, πέλεκυς. Κομιδῇ γε αὐτοῦ χρείᾱν ἔχω εἰς τὸ διορύσσειν τὴν θύρᾱν.
Ὁ ἀόρᾱτος ἀνὴρ ἆράμενος τὸν πέλεκυν κατέβαλλεν τὴν θύρᾱν.
Ἐν δὲ τῷ μεταξὺ φύλακε ἀνηγέτην τὴν θεράπαιναν πεφοβημένην εἰς Καμπίου οἰκίᾱν. Οἱ δὲ προσελθόντες τῇ ὀπίσω θύρᾳ καὶ οὐκ εἰδότες τὰ παρὰ τῇ οἰκίᾳ γιγνόμενα, ἔκρουσαν τὸν κώδωνα.
Θεῷ χάρις ἐληλύθατε.
Τί… Τί τὸ πρᾶγμα, κύριε;

Ὁ ἀόρατος ἀνήρ ἐστιν. Ἀφήρηκεν τὸ πυροβόλον μου τῷ Ἀδάμ.
Τίς ὁ πάταγός ἐστιν;
Ἐν τῷ μαγειρείῳ ἐστὶν ἢ ἔσται. Ἔχει πέλεκυν. Ἔλθετέ μοι.
Βλέψετε.
Κέκοφεν τὸ κλεῖθρον.
Εὐλαβεῖσθε. Ἀφίησιν.
Ἄπιτον, σφώ. Εκεῖνον τὸν Καμπίον βούλομαι.
Σὲ δ᾽ οἱ φύλακες βούλονται.
Εἷς τῶν φυλάκων, σκαλεύθρου λαβόμενος, ἐπέρχεται.
Ἐπὶ τὸ πυροβόλον σου, ὦ ἀόρατε ἄνερ.
Οἴ.


Τοῦτο δὲ μάταιον ποιήσει τὸν πέλεκύν σου, ἐὰν ἕτερόν τι μηχανήσῃ.
Ποῦστιν αὐτός;
Οὐκ οἶδα. Κράτιστον ἡμῖν εἶναι δοκεῖ ψηλαφᾶν αὐτόν.
Εἰπέ μοι, ποῦστιν ὁ ἰατρὸς Κάμπιος; Ὦ Κάμπιε.
Ἀπελήλυθεν. Ἀνάγκη αὐτὸν ἐπὶ τὴν κώμην ἐπανελθεῖν.
Ὁ ἰατρὸς Κάμπιος ἔφευγε κατὰ τὴν ὁδὸν σωθῆναι ἐκ τοῦ ἀοράτου φοβήτρου...
Δεῖ με ἀπιέναι, ἀπιέναι. Γρὺψ μαίνεται.
Αὐτὸν ἐκεῖνοι οἱ βακτηρίαις τοὺς ἀγροὺς ψηλαφῶντες ζητοῦσιν. Χρή με προσελθεῖν αὐτοῖς. Ἐκεῖ σωθήσομαι.
Ὁ ἰατρὸς Κάμπιος κάμνων ἔτρεχεν, τότε δέ...
Λήψομαί σου, Κάμπιε.

Οὐχί, οὐχί. Ἄφες με.
Ἀκολουθῶ σοι, Κάμπιε. Αὐτίκα ἔπειμί σοι.
Βλέψατε. Ἀκούσατε. Δύο φωναί.
Διασπάρητε. Διασπάρητε. Ἐνταῦθα πάρεστι. Παρατάχθητε.
Ἐπέρχομαί σοι, Κάμπιε.
Ὁ ἀόρᾱτὸς ἀνὴρ ἐποίησε Κάμπιον ὑπὸ τῷ ὠτὶ πεπληγμένον σφάλλεσθαι.
Οἴ
Νῦν ἔχω σε, Κάμπιε.
Τοῦτο μὲν φανεῖται.


Ἐξαίφνης ἡ τοῦ Καμπίου τύχη μετέβαλεν.
Ἰδού. Ἔχω αὐτόν. Βοηθεῖτε. Κατέχετε αὐτόν. Τοὺς πόδας ἔχετε αὐτοῦ.
Ὁ μὲν ἀόρᾱτος ἀνὴρ ἔτι εἶχέ τι δυνάμεως…
Οὔπω ἡσσῶμαι, Κάμπιε.
Ὁ δὲ Κάμπιος κατεβλήθη ὑπὸ τοῦ ἀοράτου πονηροῦ.
Φεῦ.
Οἱ δὲ κωμῆται οὕτως ἐκυκλοῦντο…
Ὥστε τὸν ἀόρᾱτον ἄνδρα ὅμοιον μυῒ ἐμπεπλεγμένῳ μανικῶς μάχεσθαι.
Εὐλαβεῖσθε.
Φεῦ.
Ἔχω αὐτόν. Οὐαί.
Λάβετε αὐτόν.

Ἐπεὶ κενὴ ἦν ἡ τοῦ ἀοράτου ἀνδρὸς δύναμις, εὐθὺς…
Ἐλεήσατε, ἐλεησατε.
Χωρήσατε. Τετρωμένος ἐστίν.
Μὴ ἀφῆτε αὐτόν. Προσποιεῖται.
Οὐ προσποιεῖται. Τὸ στόμα νοτίζεται. Νὴ τὸν οὐρανόν. Οὐ πνεῖ. Οὐχ ἅπτομαι τῶν σφυγμῶν.
Βλέψατε.
Οἱ πόδες αὐτοῦ φαίνονται.
Τὸ πρόσωπον Γρῦπὸς ὧδέ πως ὡρᾶτο ἔχον ὀργήν τε καὶ φόβον.
Κρύψατε αὐτόν. Κρύψατε τὸ πρόσωπον.
Ὁ ἀόρατος ἀνὴρ ἱματίοις ἀπὸ τοῦ ὄχλου πλείοσιν ἐκρύφθη. Τοῦ δὲ ἰατροῦ Καμπίου τὸ ἥσυχον σχῆμα καθορῶντος…
Ὁ Θεὸς ἀναπαύσαι τὴν ψῦχὴν αὐτοῦ.
Τέλος

# Ὁ ἀόρᾱτος ἀνὴρ

# The Invisible Man

The original English work was published by Nesbit Publishing in May 1955 and is now in the Public Domain.

The Ancient Greek translation was written by Bedwere and is used under the Creative Commons Attribution 4.0 International License.

The digital restoration and lettering for this edition have been dedicated to the Public Domain via the CC0 1.0 Universal waiver.